D'après l'édition Théotex (texte grec et traduction de Robinson-Pierpont et Louis Segond

## Marc chap II

21. Καὶ οὐδεὶς ἐπίϐλημα ῥάκους ἀγνάφου ἐπιράπτει ἐπὶ ἱματίῳ παλαιῷ · εἰ δὲ μή, αἴρει τὸ πλήρωμα αὐτοῦ (N ἀπ΄ αὐτοῦ) τὸ καινὸν τοῦ παλαιοῦ, καὶ χεῖρον σχίσμα γίνεται.

22. Καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς · εἰ δὲ μή, ῥήσσει (ῥήξει) ὁ οἶνος ὁ νέος τοὺς ἀσκούς, καὶ ὁ οἶνος ἐκχεῖται (ἀπόλλυται) καὶ οἱ ἀσκοὶ ἀπολοῦνται · ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς ϐλητέον.

## Matthieu chap IX

16. Οὐδεὶς δὲ ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ · αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ ἱματίου, καὶ χεῖρον σχίσμα γίνεται.

17. Οὐδὲ ϐάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς · εἰ δὲ μήγε, ῥήγνυνται οἱ ἀσκοί, καὶ ὁ οἶνος ἐκχεῖται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται (ἀπόλλυνται) · ἀλλὰ ϐάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς καινούς, καὶ ἀμφότεροι συντηροῦνται.

## Luc chapV

36. Ἔλεγεν δὲ καὶ παραβολὴν πρὸς αὐτοὺς ὅτι Οὐδεὶς ἐπίβλημα ἱματίου καινοῦ ἐπιβάλλει ἐπὶ ἱμάτιον παλαιόν · εἰ δὲ μήγε, καὶ τὸ καινὸν σχίζει, ( σχίσει) καὶ τῷ παλαιῷ οὐ συμφωνεῖ (συμφωνήσει τὸ ἐπίβλημα) τὸ ἀπὸ τοῦ καινοῦ.

37. Καὶ οὐδεὶς ϐάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς · εἰ δὲ μήγε, ῥήξει ὁ νέος οἶνος τοὺς ἀσκούς, καὶ αὐτὸς ἐκχυθήσεται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται.

38. Ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς ϐλητέον, καὶ ἀμφότεροι συντηροῦνται.

39. Καὶ οὐδεὶς πιὼν παλαιὸν εὐθέως θέλει νέον · λέγει γάρ, Ὁ παλαιὸς χρηστότερός ἐστιν.